Jost Weyer

Quellentexte zur Geschichte der Chemie

Band 1, II Altertum, Mittelalter, 16. bis 18. Jahrhundert
Quellentexte in der Originalsprache

Hamburg 2018

Vorwort zu Band 1,II

Die in diesem Band zusammengetragenen Quellentexte zur Geschichte der Chemie in der Originalsprache sind als eine Ergänzung zu der zweibändigen Geschichte der Chemie gedacht, die 2018 im Springer-Verlag erschienen ist. Hier wird der Leser tatsächlich mit den Quellen konfrontiert, nicht nur, weil der Autor selbst zu Wort kommt, sondern auch, weil er das Geschriebene in seiner ganz persönlichen Sprache ausdrückt. Der Leser erlebt bei den deutschen Texten unmittelbar die Sprachgewalt von Paracelsus oder die barocke Sprache von Georg Ernst Stahl. Der Altphilologe wird die griechischen und lateinischen Texte vom Formalen her beurteilen können, der Orientalist die arabischen Texte.

Die Kapiteleinteilung ist dieselbe wie in den beiden Textbänden, und es kommen dieselben Themen zur Sprache. Es ist ratsam, die Quellentexte in der Originalsprache im Zusammenhang mit den in Band 1,I enthaltenen Quellentexten in deutscher Übersetzung zu verwenden, da nur dort Quellennachweis und Kommentar zu den einzelnen Texten zu finden sind.

Hamburg, im Frühjahr 2018

Jost Weyer

Inhaltsverzeichnis zu Band 1,II

Teil 1	Chemie im Altertum und Mittelalter	1
1	Praktische Chemie im Vorderen Orient	1
2	Materietheorie bei den Vorsokratikern	5
3	Elementenlehre und Materietheorie bei Platon, Aristoteles und späteren griechischen Philosophen	10
4	Praktische Chemie in der Antike und im Mittelalter	18
5	Griechische Alchemie	30
6	Chemie und Alchemie in China und Indien	37
7	Arabische Alchemie	43
8	Materietheorie im arabischen und lateinischen Mittelalter	54
9	Alchemie im lateinischen Mittelalter	59
10	Chemie und Medizin im Altertum und Mittelalter	73
11	Chemie im Altertum und Mittelalter - Zusammenfassung	81
Teil 2	Chemie vom 16. bis zum 18. Jahrhundert	85
12	Entwicklung der Chemie zu einer Wissenschaft	85
13	Praktische Chemie	94
14	Chemiatrie	106
15	Elementenlehre und Materietheorie	113
16	Entdeckung der Gase	123
17	Verbrennungstheorien	132
18	Affinität der Stoffe	146
19	Chemische Nomenklatur für anorganische Stoffe	154

Teil 1 Chemie im Altertum und Mittelalter

1 Praktische Chemie im Vorderen Orient

Text 1. Mittelassyrischer Text: Rezept zur Herstellung eines Parfüms

[bu-la-a tu-na-ka]r pi-'-it-ta la tu-na-kar išâtu [a-na e-liš
t]e-el-li-a ru-pu-ul-ta i-nam-di be-ta[-a-nu] ša diqari i-na
šu-ḫa-at-te tul-ta-na-lap tu-bi-áš tu-ka-tam 4 ûmâte (meš.te)
i-na diqari-šu ša-kín e-mi-šu i-na ši-a-ra-a-te ma-la-ma
tu-ša-ḫa-az išâta la tu-da-an
i-na 13-šu ta-ba-ki šamna te-si-ip diqara ta-ka-par mê(meš)
ta-ṣa-ra-aḫ (karpat)ḫa-ri-a ta-ma-si a-na (karpat)ḫa-ri-e
ta-tab-ba-ak 2 ka-sa-a-te ša ki-iṣ-ri ša pir-ṣa-du-ḫi a-na
lìb-be ta-tab-ba-ak ka-la ûmi(mi)-šu ša-kin nu-bat-tu-šu a-na
libbi (karpat)a-ga-ni ta-tab-ba-ak 3 qa pír-ṣa-du-ḫa a-na lìb-be
ta-kar-ra-ar i-bi-id-du i-na na-ma-a-ri diqara ta-ka-par
riqqê(meš) la-bu-ku-ú-te ša i-na (karpat)a-ga-ni be-du-ú-ni
a-na diqari ta-tab-ba-ak išâta i-na ša-pal diqari tu-ša-ḫa-az
(iṣ)riqqû(meš) iṣ-ṣa-ru-ḫu ella (IÀ.GIŠ) a-na diqari ta-tab-ba-ak
tu-be-áš tu-ka-tam bu-la-e tu-na-kar pi-'-it-ta la tu-na-kar
išâtu a-na e-liš te-el-li-a ellu (IÀ.GIŠ) ru-pu-ul-ta i-nam-di
be-ta-a-nu ša diqari i-na šu-ḫa-at-te tul-ta-na-lap tu-be-áš
tu-ka-tam 4 ûmâte(meš.te) i-na diqari-šu ša-kín e-mi-šu ma-la-ma
i-na ši-a-ra-a-te išâta tu-ša-ḫa-az tu-be-áš išâta la tu-da-an

Text 2. Mittelbabylonischer Text: Rezept zur Herstellung eines roten Glases

§ 1. an ma-na a-ba-an zu-ki-i 10 šiq-lì a-ba-ram 15 šiq-lì
URUDU zu-u-uz AN.ZAḪ 1/2 [si-qil] KÙ.ÁG an-ni-tu maš-šit sa-an-ti
A.BÁR

§ 2. an ma-na a-ba-an zu-ki-i šeš-šet a-ba-ra 14 URUDU šin
ši-qil KÙ.ÁG ši-qil AN.ZAḪ an-ni-tu maš-šit sa-an-ti Ak-kà-di-ti
ši-ni-šu in IZI.LAL-ti te-eṭ-ṭe-raš-ši in ša-al-ši e-ṭè-rí-ka
ḫas-ḫal-tam ŠUB-ma E_{11}-ma GI-ma DUB-ma i-ba-aš-ša-al-ma te-pa-ša
IGI-ma $šum_4$-ma pa-ru-tu la ta-nak-kud Ak-kà-di-tam u ša A.BÁR

mal-ma-liš ta-na-aš-ši-ma NAM ŠÀ-bi a-ḫa-meš tu-šár-rak-ši-ma
TA NAM ŠÀ-bi a-ḫa-meš túl-tar-ri-ku-ši KÚM ŠÀ-bi ma-na šur-ru-ki
ši-qil zu-uz NA_4 zu-ki-i 7 1/2 ŠE AN.ZAḪ 7 1/2 ŠE URUDU 7 1/2
ŠE A.BÁR ŠE ŠÀ-bi a-ḫa-meš tu-mar-raq-ma DUB-ma 1-tu te-eṭ-ṭè-
raš-ši E_{11}-ši-ma tu-kaṣ-ṣa GU ḪU UM lu Ú.UL lu za-ku-ú u
i-ša-at-ka lu e-li-a-at ta-ša-ap-pak-ma TA NA_4.Ú.DIN.TIR SAR
ŠUB-šu u ta-lu-ka ša ba-ša-lim LU ŠU in ap-pí maš-ši-ka NA_4
te-lem-ma-àm-ma te-ṭè-eb-bi-ši tu-za-ak-kar-ši te-pa-a-ša
tu-kaṣ-ṣa IGI-ma šum$_4$-ma di-pu pa-ru-tu la ta-nak-kud in
im-gur-ri-ša sa-a-amtu ši-i

§ 4. šum$_4$-ma sa-a-amtu ši-i in im-gur-ri-ša IM.URUDU Á.KAL ša
URUDU i-ba-aš-ši-a NAM ma-na šin ši-qil a-ba-an zu-ki-i 15 ŠE
URUDU 15 ŠE A.BÁR 15 ŠE AN.ZAḪ KÙ.ÁG lá tu-qar-rab tu-maḫ-ḫar-
ši-ma ta-am-mar-ši in mu-úḫ-ḫu-ri-ša SU BE TU-ma te-eṭ-ṭè-raš-ši

Text 3. Neuassyrischer Text: Vorschrift zum Bau eines Schmelzofens für Glas

e-nu-ma uš-ši ku-ú-ri ša NA_4ŠUB-du-[ú] i-na ITU šal-me
UD.ŠE.G[A K]IN.KIN-ma uš-ši ku-ú-ri ta-nam-di a-di ku-ú-ra
tuq-te-et-tu-ma te-te-ep-šú ^{d}KÙ.BU.MEŠ tu-š[e-šib-m]a šá-nu-u
a-ḫu-u NU TU-ub NU KÙ a-na pa-ni-šú-nu la GIL gi-na-a
s[i-ir-qa a]-n[a p]a-ni-šú-nu ta-sár-raq UD-um NA_4 ana
Š[À kūri tušerridu UDU.SISKUR a-n]a IGI ^{d}KÙ.BU.MEŠ DÙ-uš
NÍG.NA ŠIM.LI GAR-an I[ZI ina K]I.T[A] ku-u-ri SAR-aḫ-ma
N[A_4 ana] ŠÀ ku-u-ri tu-šèr-ri-da LÚ.MEŠ [šá ana UGU ku-u]-ri
tu-qar-ra-bu [ú-tab]-ba-bu-ma ana UGU ku-ú-ri tu-šè[r-ri-da
GIŠ.ḪI].A šá ina KI.TA ku-u-ri [t]a-šar-ra-pu GIŠ.A.TU.GAB.LIŠ
kab-bar-[ta] qa-li-ip-tu qu-ru-u ša ki-iṣ-ra la na-du-u i-na
KUŠ a-pi ṣab-tu [ina I]TU.NE KUD-su GIŠ.ḪI.A an-nu-u ina
KI.TA ku-ri-ka [l]il-lik


Text 4. Neuassyrischer Text: Rezept zur Herstellung eines einfachen Glases

šum-ma NA_4 ZA.GÌN.DUR_5 a-na e-pe-ši-ka 10 MA.NA [NA_4.I]M.MA.NA [1]5 MA.NA NE Ú.NAGA 1⅔ MA.NA Ú.BABBAR a-ḫe-e ta-[mar-raq] 1-niš ḪI.ḪI [ana] ku-ú-ri šá 4 IGI.MEŠ-šá ka-ṣi-ti tu-šèr-ri[d-ma ina bi-rit] IGI.MEŠ ta-red-di [IZ]I ṭa-ab-ta la qa-tir-ta ta-šar-rap a-[di NA_4]i -pi-iṣ-ṣu-ú t[u-š]el-lam-ma tu-kaṣ-ṣi GUR-ma ta-mar-raq a-n[a da-ab-ti za-ku-t]i te-es-si-ip [ana ku-u]-ri ša ták-kan-ni ka-ṣi-ti DU[L+DU-id IZI ṭ]a-ab-ta [la qa-tir-ta] ta-šár-rap a-di i-[ḫar-ra-ṣu ana UG]U a-gur-ri [ta-na-za-l]a-šum-ma [NA_4 zukû] šum-šu

Text 5. Neuassyrischer Text: Rezept zur Herstellung von blau gefärbtem Glas mit Hilfe einer Kupfer-Verbindung

10 [MA.NA URUDU ni-ḫa ana da-ab-t]i za-k[u-ti ta-šak-kan ana ku-ú]-ri šá ták-kan-ni em-[me-ti tušerridma KÁ kūri tukattam IZI dan]-na-ta la [qatirta tašarrap adi URUDU.ḪI.A i-r]aš-šu-šu 10 M[A.NA zu-ku-e taḫaššal tamarraq KÁ ku-u-ri t]a-pe-et-ti ana UGU(?) [URUDU.ḪI.A ŠUB-d]i GUR-ma KÁ k[u-u-ri tukattam adi zukû UGU URUDU.ḪI.A]⌜i⌝-maḫ-ḫa-ḫu-ma URUDU.Ḫ[I.A ina muterri 1-šú 2-šú] 3-šú ta-bi-iḫ-ḫiš a-d[i ina appi mu-ter-ri TA I]GI^{II} ma-am-ma ta-mar š[um-ma abnu pan karāni baṣli ittaškin ta-ba-š]i-il a-na UGU a-gur-ri ... [ta-na-za-lam-ma ter-s]i-tu šum-šu

Text 6. Spätbabylonischer Text: Gewichtsverluste bei der Raffination von Gold (keine Transkription vorhanden)



Text 7. Schöpfungsgedicht "Enûma eliš": Entstehung der Welt durch Vermischung der beiden Urwässer Apsû und Tiʾâmat

e-nu-ma e-liš la na-bu-u ša-ma-mu šap-liš am-ma-tum šu-ma
la zak-rat Apsû-ma reš-tu-ú za-ru-šu-un Mu-um-mu Ti-amat
mu-al-li-da-at gim-ri-šù-un mê-su-nu iš-te-niš i-ḫi-ḳu-ma
gi-pa-ra la ki-iṣ-ṣu-ra šu-ṣa-a la še-ʾa e-nu-ma ilāni la
šu-pu-u ma-na-ma šu-ma la zuk-ku-ru ši-ma-tu la ši-mu
ib-ba-nu-u-ma ilāni ki-rib-šu-un

2 Materietheorie bei den Vorsokratikern

Text 1. Anaximenes: Die Luft als kosmogonisches Prinzip

'Αναξιμένης δὲ Εὐρυστράτου Μιλήσιος, ἑταῖρος γεγονὼς 'Αναξιμάνδρου, μίαν μὲν καὶ αὐτὸς τὴν ὑποκειμένην φύσιν καὶ ἄπειρόν φησιν ὥσπερ ἐκεῖνος, οὐκ ἀόριστον δὲ ὥσπερ ἐκεῖνος, ἀλλὰ ὡρισμένην, ἀέρα λέγων αὐτήν· διαφέρειν δὲ μανότητι καὶ πυκνότητι κατὰ τὰς οὐσίας.

Text 2. Anonyme Pythagoreer: Pythagoreische Lehre von der Zahl als dem Prinzip aller Dinge

ἐν δὲ τούτοις καὶ πρὸ τούτων οἱ καλούμενοι Πυθαγόρειοι τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προήγαγον, καὶ ἐντραφέντες ἐν αὐτοῖς τὰς τούτων ἀρχὰς τῶν ὄντων ἀρχὰς ὠιήθησαν εἶναι πάντων. ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει πρῶτοι, ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα πολλὰ τοῖς οὖσι καὶ γιγνομένοις, μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ καὶ ὕδατι, ... ἔτι δὲ τῶν ἁρμονιῶν ἐν ἀριθμοῖς ὁρῶντες τὰ πάθη καὶ τοὺς λόγους, ἐπεὶ δὴ τὰ μὲν ἄλλα τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσαν, οἱ δ' ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν στοιχεῖα τῶν ὄντων στοιχεῖα πάντων ὑπέλαβον εἶναι, καὶ τὸν ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν. καὶ ὅσα εἶχον ὁμολογούμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ οὐρανοῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον.

Text 3. Empedokles: Die vier Elemente Erde, Wasser, Luft und Feuer

τέσσαρα γὰρ πάντων ῥιζώματα πρῶτον ἄκουε·
Ζεὺς ἀργὴς Ἥρη τε φερέσβιος ἠδ' Ἀιδωνεύς
Νῆστίς θ', ἣ δακρύοις τέγγει κρούνωμα βρότειον.

Text 4. Empedokles: Satz von der Erhaltung des Stoffes

ἔκ τε γὰρ οὐδάμ' ἐόντος ἀμήχανόν ἐστι γενέσθαι
καί τ' ἐὸν ἐξαπολέσθαι ἀνήνυστον καὶ ἄπυστον·
αἰεὶ γὰρ τῇ γ' ἔσται, ὅπῃ κέ τις αἰὲν ἐρείδῃ.

Text 5. Empedokles: Stöchiometrische Zusammensetzung von Knochen

ἡ δε χθὼν ἐπίηρος ἐν εὐστέρνοις χοάνοισι
τὼ δύο τῶν ὀκτὼ μερέων λάχε Νήστιδος αἴγλης,
τέσσαρα δ' Ἡφαίστοιο· τὰ δ' ὀστέα λευκὰ γένοντο
Ἁρμονίης κόλλῃσιν ἀρηρότα θεσπεσίηθεν.

Text 6. Empedokles: Aufbau der Stoffe aus den Elementen als mechanische Mischung

ἀνάνκη γὰρ σύνθεσιν εἶναι καθάπερ ἐκ πλίνθων καὶ λίθων τοῖχος·
καὶ τὸ μεῖγμα δὲ τοῦτο ἐκ σωιζομένων μὲν ἔσται τῶν στοιχείων,
κατὰ μικρὰ δὲ παρ' ἄλληλα συγκειμένων· οὕτω δὴ σάρξ καὶ τῶν
ἄλλων ἕκαστον.

Text 7. Empedokles: Der Einfluß von "Liebe" und "Streit" auf die Mischung der Stoffe

ὡς δ' αὕτως ὅσα κρῆσιν ἐπαρκέα μᾶλλον ἔασιν,
ἀλλήλοις ἔστερκται ὁμοιωθέντ' Ἀφροδίτῃ,
ἐχθρα [δ' ἀ] πλεῖστον ἀπ' ἀλλήλων διέχουσι μάλιστα
γέννῃ τε κρησει τε καὶ εἴδεσιν ἐκμάκτοισι,
πάντῃ συγγίνεσθαι ἀήθεα καὶ μάλα λυγρά
Νείκεος ἐννεσίῃσιν ὅτι σφίσι γένναν ἔοργεν.

Text 8. Hippokratische Schriften: Gleiches verbindet sich nur mit Gleichem

τουτέων δὲ διαρθροῦται ὑπὸ τῆς πνοῆς ἕκαστα· φυσώμενα γὰρ διίσταται ξύμπαντα κατὰ συγγένειαν. Καὶ γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι πρὸς κύστιν, καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ φάμμον καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας φυσῆν διὰ τοῦ αὐλίσκου, πρῶτον μὲν ἐκεῖνα ἀναμείξεται τῷ ὕδατι, ἔπειτα δὲ χρόνῳ φυσώμενα ἐλεύσεται ὅ τε μόλιβδος ὡς τὸν μόλιβδον καὶ ἡ φάμμος ὡς τὴν φάμμον καὶ ἡ γῆ/ὡς τὴν γῆν· καὶ ἤν τις αὐτὰ αὐανθῆναι ἐάσῃ καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτέων τὸ ὅμοιον ἐς τὸ ὅμοιον ἐληλυθός. οὕτω δὴ καὶ ἡ γονὴ καὶ ἡ σάρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν αὐτῇ τὸ ὅμοιον ὡς τὸ ὅμοιον.

Text 9. Anaxagoras: Es gibt unzählig viele stoffliche Prinzipien

Ἀναξαγόρας μὲν γὰρ Ἡγησιβούλου Κλαζομένιος, κοινωνήσας τῆς Ἀναξιμένους φιλοσοφίας, πρῶτος μετέστησε τὰς περὶ τῶν ἀρχῶν δόξας καὶ τὴν ἐλλείπουσαν αἰτίαν ἀνεπλήρωσε, τὰς μὲν σωματικὰς ἀπείρους ποιήσας· πάντα γὰρ τὰ ὁμοιομερῆ, οἷον ὕδωρ ἢ πῦρ ἢ χρυσόν, ἀγένητα μὲν εἶναι καὶ ἄφθαρτα, φαίνεσθαι δὲ γινόμενα καὶ ἀπολλύμενα συγκρίσει καὶ διακρίσει μόνον, πάντων μὲν ἐν πᾶσιν ἐνόντων, ἑκάστου δὲ κατὰ τὸ ἐπικρατοῦν ἐν αὐτῷ χαρακτηριζομένου. χρυσὸς γὰρ φαίνεται ἐκεῖνο, ἐν ᾧ πολὺ χρυσίον ἐστὶ καίτοι πάντων ἐνόντων. λέγει γοῦν Ἀναξαγόρας ὅτι ἐν παντὶ παντὸς μοῖρα ἔνεστι· καὶ ὅτων πλεῖστα ἔνι, ταῦτα ἐνδηλότατα ἓν ἕκαστον ἔστι καὶ ἦν.

Text 10. Anaxagoras: Die Stoffe enthalten "Samen" von allen Dingen

τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι πολλά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα καὶ χροιὰς καὶ ἡδονάς.

Text 11. Anaxagoras: Es gibt kein echtes Entstehen und Vergehen

τὸ δὲ γίνεσθαι καὶ ἀπόλλυσθαι οὐκ ὀρθῶς νομίζουσιν οἱ Ἕλληνες· οὐδὲν γὰρ χρῆμα γίνεται οὐδὲ ἀπόλλυται, ἀλλ' ἀπὸ ἐόντων χρημάτων συμμίσγεταί τε καὶ διακρίνεται. καὶ οὕτως ἂν ὀρθῶς καλοῖεν τό τε γίνεσθαι συμμίσγεσθαι καὶ τὸ ἀπόλλυσθαι διακρίνεσθαι.

Text 12. Leukipp: Unterschiedliche Form, Größe, Lage und Anordnung der Atome

ταύτας δὲ τὰς ἀτόμους ἐν ἀπείρωι τῶι κενῶι κεχωρισμένας ἀλλήλων καὶ διαφερούσας σχήμασί τε καὶ μεγέθεσι καὶ θέσει καὶ τάξει φέρεσθαι ἐν τῶι κενῶι καὶ ἐπικαταλαμβανούσας ἀλλήλας συγκρούεσθαι καὶ τὰς μὲν ἀποπάλλεσθαι, ὅπηι ἂν τύχωσιν, τὰς δὲ περιπλέκεσθαι ἀλλήλαις κατὰ τὴν τῶν σχημάτων καὶ μεγεθῶν καὶ θέσεων καὶ τάξεων συμμετρίαν καὶ συμμένειν καὶ οὕτως τὴν τῶν συνθέτων γένεσιν ἀποτελεῖσθαι.

Text 13. Demokrit: "Mischung" als Nebeneinanderlagern von Atomen

Δημόκριτος μὲν ἡγούμενος τὴν λεγομένην κρᾶσιν γίνεσθαι κατὰ παράθεσιν σωμάτων, διαιρουμένων τῶν κιρναμένων εἰς μικρὰ καὶ τῆι παρ' ἄλληλα θέσει τὴν μίξιν ποιουμένων, οὐδὲ τὴν ἀρχὴν φησιν εἶναι πρὸς ἀλήθειάν τινα κεκραμένα, ἀλλ' εἶναι τὴν δοκοῦσαν κρᾶσιν παράθεσιν σωμάτων ἀλλήλοις κατὰ μικρὰ σωζόντων αὐτῶν ἑκάστου τὴν οἰκείαν φύσιν, ἣν εἶχον καὶ πρὸ τῆς μίξεως· δοκεῖν δ' αὐτὰ κεκρᾶσθαι τῶι τὴν αἴσθησιν διὰ μικρότητα τῶν παρακειμένων μηδενὸς αὐτῶν αἰσθάνεσθαι δύνασθαι μόνου.

Text 14. Demokrit: Mechanisches Aneinanderhaften der Atome

φερομένας δὲ ἐμπίπτειν καὶ περιπλέκεσθαι περιπλοκὴν τοιαύτην, ἢ συμφαύειν μὲν αὐτὰ καὶ πλησίον ἀλλήλων εἶναι ποιεῖ, φύσιν

μέντοι μίαν ἐξ ἑκείνων κατ' ἀλήθειαν οὐδ' ἡντιναοῦν γεννᾷ· κομιδῇ γὰρ εὔηθες εἶναι τὸ δύο ἢ πλείονα γενέσθαι ἄν ποτε ἕν. τοῦ δὲ συμμένειν τὰς οὐσίας μετ' ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων· τὰ μὲν γὰρ αὐτῶν εἶναι σκαληνά, τὰ δὲ ἀγκιστρώδη, τὰ δὲ κοῖλα, τὰ δὲ κυρτά, τὰ δὲ ἄλλας ἀναρίθμους ἔχοντα διαφοράς. ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ συμμένειν, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ.

Text 15. Demokrit: Erklärung des unterschiedlichen Gewichts und der unterschiedlichen Härte von Blei und Eisen

βαρὺ μὲν οὖν καὶ κοῦφον τῶι μεγέθει διαιρεῖ Δημόκριτος. εἰ γὰρ διακριθείη καθ' ἓν ἕκαστον, εἰ καὶ κατὰ σχῆμα διαφέροι, σταθμὸν ἂν ἐπὶ μεγέθει τὴν φύσιν ἔχειν (?). οὐ μὴν ἀλλ' ἔν γε τοῖς μεικτοῖς κουφότερον μὲν εἶναι τὸ πλέον ἔχον κενόν, βαρύτερον δὲ τὸ ἔλαττον. ἐν ἐνίοις μὲν οὕτως εἴρηκεν. ἐν ἄλλοις δὲ κοῦφον εἶναί φησιν ἁπλῶς τὸ λεπτόν. παραπλησίως δὲ καὶ περὶ σκληροῦ καὶ μαλακοῦ. σκληρὸν μὲν γὰρ εἶναι τὸ πυκνόν, μαλακὸν δὲ τὸ μανόν, καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον καὶ μάλιστα κατὰ λόγον. διαφέρειν δέ τι τὴν θέσιν καὶ τὴν ἐναπόληψιν τῶν κενῶν τοῦ σκληροῦ καὶ μαλακοῦ καὶ βαρέος καὶ κούφου. διὸ σκληρότερον μὲν εἶναι σίδηρον, βαρύτερον δὲ μόλυβδον· τὸν μὲν γὰρ σίδηρον ἀνωμάλως συγκεῖσθαι καὶ τὸ κενὸν ἔχειν πολλαχῇ καὶ κατὰ μεγάλα, πεπυκνῶσθαι δὲ κατὰ ἔνια, ἁπλῶς δὲ πλέον ἔχειν κενόν. τὸν δὲ μόλυβδον ἔλαττον ἔχοντα κενὸν ὁμαλῶς συγκεῖσθαι κατὰ πᾶν ὁμοίως· διὸ βαρύτερον μέν, μαλακώτερον δ' εἶναι τοῦ σιδήρου.

3 Elementenlehre und Materietheorie bei Platon, Aristoteles und späteren griechischen Philosophen

Text 1. Platon: Zuordnung der Elementarkörper zu den vier Elementen

τὰ δὲ γεγονότα νῦν τῷ λόγῳ γένη διανείμωμεν εἰς πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. γῇ μὲν δὴ τὸ κυβικὸν εἶδος δῶμεν· ἀκινητοτάτη γὰρ τῶν τεττάρων γενῶν γῆ καὶ τῶν σωμάτων πλαστικωτάτη, μάλιστα δὲ ἀνάγκη γεγονέναι τοιοῦτον τὸ τὰς βάσεις ἀσφαλεστάτας ἔχον· βάσις δὲ ἥ τε τῶν κατ' ἀρχὰς τριγώνων ὑποτεθέντων ἀσφαλεστέρα κατὰ φύσιν ἡ τῶν ἴσων πλευρῶν τῆς τῶν ἀνίσων, τό τε ἐξ ἑκατέρου συντεθὲν ἐπίπεδον ἰσόπλευρον ἰσοπλεύρου τετράγωνον τριγώνου κατά τε μέρη καὶ καθ' ὅλον στασιμωτέρως ἐξ ἀνάγκης βέβηκεν. διὸ γῇ μὲν τοῦτο ἀπονέμοντες τὸν εἰκότα λόγον διασῴζομεν, ὕδατι δ' αὖ τῶν λοιπῶν τὸ δυσκινητότατον εἶδος, τὸ δ' εὐκινητότατον πυρί, τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν σμικρότατον σῶμα πυρί, τὸ δ' αὖ μέγιστον ὕδατι, τὸ δὲ μέσον ἀέρι· καὶ τὸ μὲν ὀξύτατον αὖ πυρί, τὸ δὲ δεύτερον ἀέρι, τὸ δὲ τρίτον ὕδατι. ταῦτ' οὖν δὴ πάντα, τὸ μὲν ἔχον ὀλιγίστας βάσεις εὐκινητότατον ἀνάγκη πεφυκέναι, τμητικώτατόν τε καὶ ὀξύτατον ὂν πάντῃ πάντων, ἔτι τε ἐλαφρότατον, ἐξ ὀλιγίστων συνεστὸς τῶν αὐτῶν μερῶν· τὸ δὲ δεύτερον δευτέρως τὰ αὐτὰ ταῦτ' ἔχειν, τρίτως δὲ τὸ τρίτον. ἔστω δὴ κατὰ τὸν ὀρθὸν λόγον καὶ κατὰ τὸν εἰκότα τὸ μὲν τῆς πυραμίδος στερεὸν γεγονὸς εἶδος πυρὸς στοιχεῖον καὶ σπέρμα· τὸ δὲ δεύτερον κατὰ γένεσιν εἴπωμεν ἀέρος, τὸ δὲ τρίτον ὕδατος.

Text 2. Platon: Unterschiedliche Größe der Elementardreiecke

Ὅσα μὲν οὖν ἄκρατα καὶ πρῶτα σώματα διὰ τοιούτων αἰτιῶν γέγονεν· τὸ δ' ἐν τοῖς εἴδεσιν αὐτῶν ἕτερα ἐμπεφυκέναι γένη τὴν ἑκατέρου τῶν στοιχείων αἰτιατέον σύστασιν, μὴ μόνον ἓν ἑκατέραν μέγεθος ἔχον τὸ τρίγωνον φυτεῦσαι κατ' ἀρχάς, ἀλλ' ἐλάττω τε καὶ μείζω, τὸν ἀριθμὸν δὲ ἔχοντα τοσοῦτον ὅσαπερ ἂν ᾖ τὰν τοῖς εἴδεσι γένη. διὸ δὴ συμμειγνύμενα αὐτά τε πρὸς αὐτὰ καὶ πρὸς ἄλληλα τὴν ποικιλίαν ἐστὶν ἄπειρα· ἧς δὴ δεῖ θεωροὺς γίγνεσθαι τοὺς μέλλοντας περὶ φύσεως εἰκότι λόγῳ χρήσεσθαι.

Text 3. Platon: Umwandlungen der Elementarkörper ineinander

Ἐκ δὴ πάντων ὧνπερ τὰ γένη προειρήκαμεν ὧδ' ἂν κατὰ τὸ εἰκὸς μάλιστ' ἂν ἔχοι. γῇ μὲν συντυγχάνουσα πυρὶ διαλυθεῖσά τε ὑπὸ τῆς ὀξύτητος αὐτοῦ φέροιτ' ἄν, εἴτ' ἐν αὐτῷ πυρὶ λυθεῖσα εἴτ' ἐν ἀέρος εἴτ' ἐν ὕδατος ὄγκῳ τύχοι, μέχριπερ ἂν αὐτῆς πῃ συντυχόντα τὰ μέρη, πάλιν συναρμοσθέντα αὐτὰ αὑτοῖς, γῇ γένοιτο—οὐ γὰρ εἰς ἄλλο γε εἶδος ἔλθοι ποτ' ἄν—ὕδωρ δὲ ὑπὸ πυρὸς μερισθέν, εἴτε καὶ ὑπ' ἀέρος, ἐγχωρεῖ γίγνεσθαι συστάντα ἓν μὲν πυρὸς σῶμα, δύο δὲ ἀέρος· τὰ δὲ ἀέρος τμήματα ἐξ ἑνὸς μέρους διαλυθέντος δύ' ἂν γενοίσθην σώματα πυρός. καὶ πάλιν, ὅταν ἀέρι πῦρ ὕδασίν τε ἤ τινι γῇ περιλαμβανόμενον ἐν πολλοῖς ὀλίγον, κινούμενον ἐν φερομένοις, μαχόμενον καὶ νικηθὲν καταθραυσθῇ, δύο πυρὸς σώματα εἰς ἓν συνίστασθον εἶδος ἀέρος· καὶ κρατηθέντος ἀέρος κερματισθέντος τε ἐκ δυοῖν ὅλοιν καὶ ἡμίσεος ὕδατος εἶδος ἓν ὅλον ἔσται συμπαγές.

Text 4. Aristoteles: Definition des Elementbegriffs

ἔστω δὴ στοιχεῖον τῶν σωμάτων, εἰς ὃ τἆλλα σώματα διαιρεῖται, ἐνυπάρχον δυνάμει ἢ ἐνεργείᾳ (τοῦτο γὰρ ποτέρως, ἔτι ἀμφισβητήσιμον), αὐτὸ δ' ἐστὶν ἀδιαίρετον εἰς ἕτερα τῷ εἴδει·

Text 5. Aristoteles: Zuordnung der vier Urqualitäten zu den vier Elementen

Ἐπεὶ δὲ τέτταρα τὰ στοιχεῖα, τῶν δὲ τεττάρων ἓξ αἱ συζεύξεις, τὰ δ' ἐναντία οὐ πέφυκε συνδυάζεσθαι (θερμὸν γὰρ καὶ ψυχρὸν εἶναι τὸ αὐτὸ καὶ πάλιν ὑγρὸν καὶ ξηρὸν ἀδύνατον), φανερὸν ὅτι τέτταρες ἔσονται αἱ τῶν στοιχείων συζεύξεις, θερμοῦ καὶ ξηροῦ, καὶ ὑγροῦ καὶ θερμοῦ, καὶ πάλιν ψυχροῦ καὶ ξηροῦ, καὶ ψυχροῦ καὶ ὑγροῦ. καὶ ἠκολούθηκε κατὰ λόγον τοῖς ἁπλοῖς φαινομένοις σώμασι, πυρὶ καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ. τὸ μὲν γὰρ πῦρ θερμὸν καὶ ξηρόν, ὁ δ' ἀὴρ θερμὸν καὶ ὑγρόν (οἷον ἀτμὶς γὰρ ὁ ἀήρ), τὸ δ' ὕδωρ ψυχρὸν καὶ ὑγρόν, ἡ δὲ γῇ ψυχρὸν καὶ ξηρόν, ὥστ' εὐλόγως διανέμεσθαι τὰς διαφορὰς τοῖς πρώτοις σώμασι, καὶ τὸ πλῆθος αὐτῶν εἶναι κατὰ λόγον.

Text 6. Aristoteles: Die vier Elemente nicht mit den in der Natur vorkommenden gleichnamigen Stoffen identisch

οὐκ ἔστι δὲ τὸ πῦρ καὶ ὁ ἀὴρ καὶ ἕκαστον τῶν εἰρημένων ἁπλοῦν, ἀλλὰ μικτά. τὰ δ' ἁπλᾶ τοιαῦτα μέν ἐστιν, οὐ μέντοι ταὐτά, οἷον τὸ τῷ πυρὶ ὅμοιον πυροειδές, οὐ πῦρ, καὶ τὸ τῷ ἀέρι ἀεροειδές· ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων.

Text 7. Aristoteles: Gegenseitige Umwandlung (Transmutation) der vier Elemente

Ἐπεὶ δὲ διώρισται πρότερον ὅτι τοῖς ἁπλοῖς σώμασιν ἐξ ἀλλήλων ἡ γένεσις, ἅμα δὲ καὶ κατὰ τὴν αἴσθησιν φαίνεται γινόμενα, . . . λεκτέον τίς ὁ τρόπος τῆς εἰς ἄλληλα μεταβολῆς, καὶ πότερον ἅπαν ἐξ ἅπαντος γίγνεσθαι δυνατὸν ἢ τὰ μὲν δυνατὸν τὰ δ' ἀδύνατον. ὅτι μὲν οὖν ἅπαντα πέφυκεν εἰς ἄλληλα μεταβάλλειν, φανερόν. ἡ γὰρ γένεσις εἰς ἐναντία καὶ ἐξ ἐναντίων, τὰ δὲ στοιχεῖα πάντα ἔχει ἐναντίωσιν πρὸς ἄλληλα διὰ τὸ τὰς διαφορὰς ἐναντίας εἶναι. τοῖς μὲν γὰρ ἀμφότεραι ἐναντίαι, οἷον πυρὶ καὶ ὕδατι (τὸ μὲν γὰρ ξηρὸν καὶ θερμόν, τὸ δ' ὑγρὸν καὶ ψυχρόν), τοῖς δ' ἡ ἑτέρα μόνον, οἷον ἀέρι καὶ ὕδατι (τὸ μὲν γὰρ ὑγρὸν καὶ θερμόν, τὸ δὲ ὑγρὸν καὶ ψυχρόν)· ὥστε καθόλου μὲν φανερὸν ὅτι πᾶν ἐκ παντὸς γίνεσθαι πέφυκεν, ἤδη δὲ καθ' ἕκαστον οὐ χαλεπὸν ἰδεῖν πῶς— ἅπαντα μὲν γὰρ ἐξ ἁπάντων ἔσται, διοίσει δὲ τῷ θᾶττον καὶ βραδύτερον καὶ τῷ ῥᾷον καὶ χαλεπώτερον. ὅσα μὲν γὰρ ἔχει σύμβολα πρὸς ἄλληλα, ταχεῖα τούτων ἡ μετάβασις, ὅσα δὲ μὴ ἔχει, βραδεῖα, διὰ τὸ ῥᾷον εἶναι τὸ ἓν ἢ τὰ πολλὰ μεταβάλλειν—οἷον ἐκ πυρὸς μὲν ἔσται ἀὴρ θατέρου μεταβάλλοντος (τὸ μὲν γὰρ ἦν θερμὸν καὶ ξηρόν, τὸ δὲ θερμὸν καὶ ὑγρόν, ὥστε ἂν κρατηθῇ τὸ ξηρὸν ὑπὸ τοῦ ὑγροῦ ἀὴρ ἔσται), πάλιν δὲ ἐξ ἀέρος ὕδωρ, ἐὰν κρατηθῇ τὸ θερμὸν ὑπὸ τοῦ ψυχροῦ (τὸ μὲν γὰρ ἦν θερμὸν καὶ ὑγρόν, τὸ δὲ ψυχρὸν καὶ ὑγρόν, ὥστε μεταβάλλοντος τοῦ θερμοῦ ὕδωρ ἔσται). . . .

ὥστε φανερὸν ὅτι κύκλῳ τε ἔσται ἡ γένεσις τοῖς ἁπλοῖς σώμασι, καὶ ῥᾷστος οὗτος ὁ τρόπος τῆς μεταβολῆς διὰ τὸ σύμβολα ἐνυπάρχειν τοῖς ἐφεξῆς. ἐκ πυρὸς δὲ ὕδωρ καὶ ἐξ ἀέρος γῆν καὶ πάλιν ἐξ ὕδατος καὶ γῆς ἀέρα καὶ πῦρ ἐνδέχεται μὲν γίνεσθαι, χαλεπώτερον δὲ διὰ τὸ πλειόνων εἶναι τὴν μεταβολήν. ἀνάγκη γάρ, εἰ ἔσται ἐξ ὕδατος πῦρ, φθαρῆναι καὶ τὸ ψυχρὸν καὶ τὸ ὑγρόν, . . . αὕτη μὲν οὖν χρονιωτέρα ἡ γένεσις·

Text 8. Aristoteles: Das Problem der "Mischung" (stofflichen Umwandlung)

ἐπεὶ δ' ἐστὶ τὰ μὲν δυνάμει τὰ δ' ἐνεργείᾳ τῶν ὄντων, ἐνδέχεται τὰ μιχθέντα εἶναί πως καὶ μὴ εἶναι, ἐνεργείᾳ μὲν ἑτέρου ὄντος τοῦ γεγονότος ἐξ αὐτῶν, δυνάμει δ' ἔτι ἑκατέρου ἅπερ ἦσαν πρὶν μιχθῆναι, καὶ οὐκ ἀπολωλότα . . .

φαίνεται δὲ τὰ μιγνύμενα πρότερόν τε ἐκ κεχωρισμένων συνιόντα καὶ δυνάμενα χωρίζεσθαι πάλιν. οὔτε διαμένουσιν οὖν ἐνεργείᾳ . . .

οὔτε φθείρονται, οὔτε θάτερον οὔτ' ἄμφω, σώζεται γὰρ ἡ δύναμις αὐτῶν. διὸ ταῦτα μὲν ἀφείσθω· τὸ δὲ συνεχὲς τούτοις ἀπόρημα διαιρετέον, πότερον ἡ μίξις πρὸς τὴν αἴσθησιν τί ἐστιν. ὅταν γὰρ οὕτως εἰς μικρὰ διαιρεθῇ τὰ μιγνύμενα καὶ τεθῇ παρ' ἄλληλα τοῦτον τὸν τρόπον ὥστε μὴ δῆλον ἕκαστον εἶναι τῇ αἰσθήσει, τότε μέμικται; ἢ οὔ, ἀλλ' ⟨ὅτε⟩ ἔστιν ὥστε ὁτιοῦν παρ' ὁτιοῦν εἶναι μόριον τῶν μιχθέντων; λέγεται μὲν οὖν ἐκείνως, οἷον κριθὰς μεμῖχθαι πυροῖς, ὅταν ἠτισοῦν παρ' ὁντινοῦν τεθῇ· εἰ δ' ἐστὶ πᾶν σῶμα διαιρετόν, εἴπερ ἐστὶ σῶμα σώματι μικτὸν ὁμοιομερές, ὁτιοῦν ἂν δέοι μέρος γίνεσθαι παρ' ὁτιοῦν. ἐπεὶ δ' οὐκ ἔστιν εἰς τὰ ἐλάχιστα διαιρεθῆναι, οὐδὲ σύνθεσις ταὐτὸ καὶ μίξις ἀλλ' ἕτερον, δῆλον ὡς οὔτε κατὰ μικρὰ σωζόμενα δεῖ τὰ μιγνύμενα φάναι μεμῖχθαι (σύνθεσις γὰρ ἔσται καὶ οὐ κρᾶσις οὐδὲ μίξις, οὐδ' ἕξει τὸν αὐτὸν λόγον τῷ ὅλῳ τὸ μόριον· φαμὲν δὲ δεῖν, εἴπερ μέμικται, τὸ μιχθὲν ὁμοιομερὲς εἶναι, καὶ ὥσπερ τοῦ ὕδατος τὸ μέρος ὕδωρ, οὕτω καὶ τοῦ κραθέντος· ἂν δ' ᾖ κατὰ μικρὰ σύνθεσις ἡ μίξις, οὐθὲν συμβήσεται τούτων, ἀλλὰ μόνον μεμιγμένα πρὸς τὴν αἴσθησιν, καὶ τὸ αὐτὸ τῷ μὲν μεμιγμένον, ἐὰν μὴ βλέπῃ ὀξύ, τῷ Λυγκεῖ δ' οὐθὲν μεμιγμένον) οὔτε τῇ διαιρέσει ὥστε ὁτιοῦν παρ' ὁτιοῦν μέρος, ἀδύνατον γὰρ οὕτω διαιρεθῆναι. . . .

ἡ δὲ μίξις τῶν μικτῶν ἀλλοιωθέντων ἕνωσις.

Text 9. Aristoteles: Affinität und "Mischung" bei Flüssigkeiten und bei der Bronze

φανερὸν οὖν ὅτι ἐστὶ ταῦτα μικτὰ ὅσα ἐναντίωσιν ἔχει τῶν ποιούντων (ταῦτα γάρ ἐστιν ὑπ' ἀλλήλων παθητικά)· καὶ μικρὰ δὲ μικροῖς παρατιθέμενα μίγνυται μᾶλλον, ῥᾷον γὰρ καὶ θᾶττον ἄλληλα μεθιστᾶσι, τὸ δὲ πολὺ καὶ ὑπὸ πολλοῦ χρονίως τοῦτο δρᾷ. διὸ τὰ εὐόριστα τῶν διαιρετῶν καὶ παθητικῶν μικτά—διαιρεῖται γὰρ εἰς μικρὰ ταῦτα ῥᾳδίως, τοῦτο γὰρ ἦν τὸ εὐορίστῳ εἶναι—οἷον τὰ ὑγρὰ μικτὰ μάλιστα τῶν σωμάτων· εὐόριστον γὰρ μάλιστα τὸ ὑγρὸν τῶν διαιρετῶν, . . .

ὅταν δ' ᾖ θάτερον μόνον παθητικόν, ἢ σφόδρα τὸ δὲ πάμπαν ἠρέμα, ἢ οὐθὲν πλεῖον τὸ μιχθὲν ἐξ ἀμφοῖν ἢ μικρόν, ὅπερ συμβαίνει περὶ τὸν καττίτερον καὶ τὸν χαλκόν. ἔνια γὰρ ψελλίζεται πρὸς ἄλληλα τῶν ὄντων καὶ ἐπαμφοτερίζει—φαίνεται γάρ πως καὶ μικτὰ ἠρέμα καὶ ὡς θάτερον μὲν δεκτικὸν θάτερον δ' εἶδος—ὅπερ καὶ ἐπὶ τούτων συμβαίνει· ὁ γὰρ καττίτερος ὡς πάθος τι ὢν ἄνευ ὕλης τοῦ χαλκοῦ σχεδὸν ἀφανίζεται καὶ μιχθεὶς ἅπεισι χρωματίσας μόνον. ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ ἐφ' ἑτέρων.

Text 10. Aristoteles: Deutung der Verbrennung

καὶ τὰ μὲν καυστά ἐστιν τὰ δὲ ἄκαυστα, οἷον ξύλον μὲν καυστὸν καὶ ἔριον καὶ ὀστοῦν, λίθος δὲ καὶ κρύσταλλος ἄκαυστον. ἔστιν δὲ καυστὰ ὅσα ἔχει πόρους δεκτικοὺς πυρὸς καὶ ὑγρότητα ἐν τοῖς κατ' εὐθυωρίαν πόροις ἀσθενεστέραν πυρός. ὅσα δὲ μὴ ἔχει ἢ ἰσχυροτέραν, οἷον κρύσταλλος καὶ τὰ σφόδρα χλωρά, ἄκαυστα.

... καυστὰ δὲ δοκεῖ εἶναι ὅσα εἰς τέφραν διαλύεται τῶν σωμάτων. πάσχει δὲ τοῦτο πάντα ὅσα πέπηγεν ἢ ὑπὸ θερμοῦ ἢ ὑπ' ἀμφοῖν, ψυχροῦ καὶ θερμοῦ· ταῦτα γὰρ φαίνεται κρατούμενα ὑπὸ τοῦ πυρός· ἥκιστα δὲ τῶν λίθων ἡ σφραγίς, ὃ καλούμενος ἄνθραξ. τῶν δὲ καυστῶν τὰ μὲν φλογιστά ἐστιν τὰ δ' ἀφλόγιστα· τούτων δ' ἔνια ἀνθρακευτά. φλογιστὰ μὲν οὖν ὅσα φλόγα δύναται παρέχεσθαι· ὅσα δὲ ἀδύνατα, ἀφλόγιστα. ἔστι δὲ φλογιστὰ ὅσα μὴ ὑγρὰ ὄντα θυμιατά ἐστιν· πίττα δὲ ἡ ἔλαιον ἢ κηρὸς μᾶλλον μετ' ἄλλων ἢ καθ' αὑτὰ φλογιστά· μάλιστα δ' ὅσα καπνὸν ἀνίησιν. ἀνθρακευτὰ δ' ὅσα τῶν τοιούτων γῆς πλέον ἔχει ἢ καπνοῦ. ἔτι δ' ἔνια τηκτὰ ὄντα οὐ φλογιστά ἐστιν, οἷον χαλκός, καὶ φλογιστὰ οὐ τηκτά, οἷον ξύλον, τὰ δ' ἄμφω, οἷον λιβανωτός. αἴτιον δ' ὅτι τὰ μὲν ξύλα ἀθρόον ἔχει τὸ ὑγρόν, καὶ δι' ὅλου συνεχές ἐστιν, ὥστε διακάεσθαι, ὁ δὲ χαλκὸς παρ' ἕκαστον μὲν μέρος, οὐ συνεχὲς δέ, καὶ ἔλαττον ἢ ὥστε φλόγα ποιῆσαι· ὁ δὲ λιβανωτὸς τῇ μὲν οὕτως τῇ δ' ἐκείνως ἔχει.

Text 11. Platon: Unterscheidung zwischen Flüssigkeiten und schmelzbaren Stoffen, Deutung des Schmelzens und Erstarrens

τὰ δὲ ὕδατος διχῇ μὲν πρῶτον, τὸ μὲν ὑγρόν, τὸ δὲ χυτὸν γένος αὐτοῦ. τὸ μὲν οὖν ὑγρὸν διὰ τὸ μετέχον εἶναι τῶν γενῶν τῶν ὕδατος ὅσα σμικρά, ἀνίσων ὄντων, κινητικὸν αὐτό τε καθ' αὑτὸ καὶ ὑπ' ἄλλου διὰ

τὴν ἀνωμαλότητα καὶ τὴν τοῦ σχήματος ἰδέαν γέγονεν· τὸ δὲ ἐκ μεγάλων καὶ ὁμαλῶν στασιμώτερον μὲν ἐκείνου καὶ βαρὺ πεπηγὸς ὑπὸ ὁμαλότητός ἐστιν, ὑπὸ δὲ πυρὸς εἰσιόντος καὶ διαλύοντος αὐτὸ τὴν ὁμαλότητα ἀποβάλλει, ταύτην δὲ ἀπολέσαν μετίσχει μᾶλλον κινήσεως, γενόμενον δὲ εὐκίνητον, ὑπὸ τοῦ πλησίον ἀέρος ὠθούμενον καὶ κατατεινόμενον ἐπὶ γῆν, τήκεσθαι μὲν τὴν τῶν ὄγκων καθαίρεσιν, ῥοὴν δὲ τὴν κατάτασιν ἐπὶ γῆν ἐπωνυμίαν ἑκατέρου τοῦ πάθους ἔλαβεν. πάλιν δ' ἐκπίπτοντος αὐτόθεν τοῦ πυρός, ἅτε οὐκ εἰς κενὸν ἐξιόντος, ὠθούμενος ὁ πλησίον ἀὴρ εὐκίνητον ὄντα ἔτι τὸν ὑγρὸν ὄγκον εἰς τὰς τοῦ πυρὸς ἕδρας συνωθῶν αὐτὸν αὑτῷ συμμείγνυσιν· ὁ δὲ συνωθούμενος ἀπολαμβάνων τε τὴν ὁμαλότητα πάλιν, ἅτε τοῦ τῆς ἀνωμαλότητος δημιουργοῦ πυρὸς ἀπιόντος, εἰς ταὐτὸν αὑτῷ καθίσταται. καὶ τὴν μὲν τοῦ πυρὸς ἀπαλλαγὴν ψῦξιν, τὴν δὲ σύνοδον ἀπελθόντος ἐκείνου πεπηγὸς εἶναι γένος προσερρήθη.

Text 12. Aristoteles: Theorie über die Entstehung der Mineralien im Erdinnern

ποιεῖ γὰρ δύο διαφορὰς σωμάτων· . . . δύο μὲν γὰρ αἱ ἀναθυμιάσεις, ἡ μὲν ἀτμιδώδης ἡ δὲ καπνώδης, ὥς φαμεν, εἰσίν· δύο δὲ καὶ τὰ εἴδη τῶν ἐν τῇ γῇ γιγνομένων, τὰ μὲν ὀρυκτὰ τὰ δὲ μεταλλευτά. ἡ μὲν οὖν ξηρὰ ἀναθυμίασίς ἐστιν ἥ τις ἐκπυροῦσα ποιεῖ τὰ ὀρυκτὰ πάντα, οἷον λίθων τε γένη τὰ ἄτηκτα καὶ σανδαράκην καὶ ὤχραν καὶ μίλτον καὶ θεῖον καὶ τἆλλα τὰ τοιαῦτα. τὰ δὲ πλεῖστα τῶν ὀρυκτῶν ἐστιν τὰ μὲν κονία κεχρωματισμένη, τὰ δὲ λίθος ἐκ τοιαύτης γεγονὼς συστάσεως, οἷον τὸ κιννάβαρι. τῆς δ' ἀναθυμιάσεως τῆς ἀτμιδώδους, ὅσα μεταλλεύεται, καὶ ἔστιν ἡ χυτὰ ἢ ἐλατά, οἷον σίδηρος, χρυσός, χαλκός. ποιεῖ δὲ ταῦτα πάντα ἡ ἀναθυμίασις ἡ ἀτμιδώδης ἐγκατακλειομένη, καὶ μάλιστα ἐν τοῖς λίθοις, διὰ ξηρότητα εἰς ἓν συνθλιβομένη καὶ πηγνυμένη, οἷον ἡ δρόσος ἡ πάχνη, ὅταν ἀποκριθῇ. ἐνταῦθα δὲ πρὶν ἀποκριθῆναι γεννᾶται ταῦτα. διὸ ἔστι μὲν ὡς ὕδωρ ταῦτα, ἔστιν δ' ὡς οὔ· δυνάμει μὲν γὰρ ἡ ὕλη ὕδατος ἦν, ἔστι δ' οὐκέτι, οὐδ' ἐξ ὕδατος γενομένου διά τι πάθος, ὥσπερ οἱ χυμοί· οὐδὲ γὰρ οὕτω γίγνεται τὸ μὲν χαλκὸς τὸ δὲ χρυσός, ἀλλὰ πρὶν γενέσθαι παγείσης τῆς ἀναθυμιάσεως ἕκαστα τούτων ἐστίν. διὸ καὶ πυροῦται πάντα καὶ γῆν ἔχει· ξηρὰν γὰρ ἔχει ἀναθυμίασιν· ὁ δὲ χρυσὸς μόνος οὐ πυροῦται.

Text 13. Theophrast: Theorie über die Entstehung der Mineralien im Erdinnern

Τῶν ἐν τῇ γῇ συνισταμένων τὰ μέν ἐστιν ὕδατος, τὰ δὲ γῆς. ὕδατος μὲν τὰ μεταλλευόμενα καθάπερ ἄργυρος καὶ χρυσὸς καὶ τἆλλα, γῆς δὲ λίθος τε καὶ ὅσα λίθων εἴδη περιττότερα, καὶ εἴ τινες δὴ τῆς γῆς αὐτῆς ἰδιώτεραι φύσεις εἰσὶν ἢ χρώμασιν ἢ λειότησιν ἢ πυκνότησιν ἢ καὶ ἄλλῃ τινὶ δυνάμει. περὶ μὲν οὖν τῶν μεταλλευομένων ἐν ἄλλοις τεθεώρηται· περὶ δὲ τούτων νῦν λέγωμεν. ἅπαντα οὖν ταῦτα χρὴ νομίζειν ὡς ἁπλῶς εἰπεῖν ἐκ καθαρᾶς τινος συνεστάναι καὶ ὁμαλῆς ὕλης, εἴτε συρροῆς εἴτε διηθήσεώς τινος γινομένης, εἴτε ὡς ἀνωτέρω εἴρηται καὶ κατ' ἄλλον τρόπον ἐκκεκριμένης· τάχα γὰρ ἐνδέχεται τὰ μὲν οὕτως, τὰ δ' ἐκείνως, τὰ δ' ἄλλως. ἀφ' ὧν δὴ καὶ τὸ λεῖον καὶ τὸ πυκνὸν καὶ τὸ στιλπνὸν καὶ διαφανὲς καὶ τἆλλα τὰ τοιαῦτα ἔχουσι, καὶ ὅσῳ ἂν καὶ ὁμαλεστέρων καὶ καθαρωτέρων ἕκαστον ᾖ τοσούτῳ καὶ ταῦτα μᾶλλον ὑπάρχει. τὸ γὰρ ὅλον ὡς ἂν ἀκριβείας ἔχῃ τὰ κατὰ τὴν σύστασιν ἢ πῆξιν οὕτως ἀκολουθεῖ καὶ τὰ ἀπ' ἐκείνων. ἡ δὲ πῆξις τοῖς μὲν ἀπὸ θερμοῦ τοῖς δ' ἀπὸ ψυχροῦ γίνεται. κωλύει γὰρ ἴσως οὐδὲν ἔνια γένη λίθων ὑφ' ἑκατέρων συνίστασθαι τούτων. ἐπεὶ τά γε τῆς γῆς ἅπαντα δόξειεν ἂν ὑπὸ πυρός· ἐπείπερ ἐν τοῖς ἐναντίοις ἑκάστων ἡ πῆξις καὶ ἡ τῆξις.

Text 14. Epikur: "Auswahlregeln" für die Form von Atomen

σχήματα τῶν ἀτόμων ⟨ἀ⟩περίληπτα, οὐκ ἄπειρα· μὴ γὰρ εἶναι μήτ' ἀγκιστροειδεῖς μήτε τριαινοειδεῖς μήτε κρικοειδεῖς· ταῦτα γὰρ τὰ σχήματα εὔθραυστά ἐστιν, αἱ δ' ἄτομοι ἀπαθεῖς ἄθραυστοι·

Text 15. Epikur: Existenz von sichtbaren Atomen nicht akzeptabel

'Αλλὰ μὴν οὐδὲ δεῖ νομίζειν πᾶν μέγεθος ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ· . . .

πᾶν δὲ μέγεθος ὑπάρχειν οὔτε χρήσιμόν ἐστι πρὸς τὰς τῶν ποιοτήτων διαφοράς, ἀφῖχθαί τε ἂμ' ἔδει[1] καὶ πρὸς ἡμᾶς ὁρατὰς ἀτόμους· ὃ οὐ θεωρεῖται γινόμενον οὔθ' ὅπως ἂν γένοιτο ὁρατὴ ἄτομος ἔστιν ἐπινοῆσαι.

Text 16. Stoiker: Aktive und passive Elemente

λέγουσι δὲ οἱ Στωϊκοὶ τῶν στοιχείων τὰ μὲν εἶναι δραστικά, τὰ δὲ παθητικά· δραστικὰ μὲν ἀέρα καὶ πῦρ, παθητικὰ δὲ γῆν καὶ ὕδωρ.

Text 17. Zenon von Kition: Definition des Elementbegriffs; jedes Element mit einer Urqualität

ἔστι δὲ στοιχεῖον ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. τὰ δὴ τέτταρα στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην. εἶναι δὲ τὸ μὲν πῦρ τὸ θερμόν, τὸ δὲ ὕδωρ τὸ ὑγρόν, τόν τε ἀέρα τὸ ψυχρὸν καὶ τὴν γῆν τὸ ξηρόν.

Text 18. Chrysippos von Soloi: Lehre von der "totalen Mischung"

ἔστι δὲ ἡ Χρυσίππου δόξα περὶ κράσεως ἥδε· ἡνῶσθαι μὲν ὑποτίθεται τὴν σύμπασαν οὐσίαν, πνεύματός τινος διὰ πάσης αὐτῆς διήκοντος, ὑφ' οὗ συνέχεταί τε καὶ συμμένει καὶ σύμπαθές ἐστιν αὑτῷ τὸ πᾶν, τῶν δὲ μιγνυμένων ἐν αὐτῇ σωμάτων τὰς μὲν παραθέσει μίξεις γίνεσθαι λέγει, . . .

ὡς ἐπὶ κυάμων φέρε εἰπεῖν καὶ πυρῶν ἐν τῇ παρ' ἀλλήλους θέσει γίνεται, τὰς δέ τινας συγχύσει δι' ὅλων τῶν τε οὐσιῶν αὐτῶν καὶ τῶν ἐν αὐταῖς ποιοτήτων συμφθειρομένων ἀλλήλαις, ὡς γίνεσθαί φησιν ἐπὶ τῶν ἰατρικῶν φαρμάκων κατὰ σύμφθαρσιν τῶν μιγνυμένων, ἄλλου τινὸς ἐξ αὐτῶν γεννωμένου σώματος· τὰς δέ τινας γίνεσθαι μίξεις λέγει δι' ὅλων τινῶν οὐσιῶν τε καὶ τῶν τούτων ποιοτήτων ἀντιπαρεκτεινομένων ἀλλήλαις μετὰ τοῦ τὰς ἐξ ἀρχῆς οὐσίας τε καὶ ποιότητας σώζειν ἐν τῇ μίξει τῇ τοιᾷδε, ἥντινα τῶν μίξεων κρᾶσιν ἰδίως εἶναι λέγει. τὴν γὰρ δύο ἢ καὶ πλειόνων τινῶν σωμάτων ὅλων δι' ὅλων ἀντιπαρέκτασιν ἀλλήλοις οὕτως, ὡς σώζειν ἕκαστον αὐτῶν ἐν τῇ μίξει τῇ τοιαύτῃ τήν τε οἰκείαν οὐσίαν καὶ τὰς ἐν αὐτῇ ποιότητας, λέγει κρᾶσιν εἶναι μόνην τῶν μίξεων. εἶναι γὰρ ἴδιον τῶν κεκραμένων τὸ δύνασθαι χωρίζεσθαι πάλιν ἀπ' ἀλλήλων, ὃ μόνως γίνεται τῷ σώζειν ἐν τῇ μίξει τὰ κεκραμένα τὰς αὑτῶν φύσεις. . . .

τὴν δὲ τοιαύτην ἀντιπαρέκτασιν τῶν κιρναμένων ὑπολαμβάνει γίνεσθαι χωρούντων δι' ἀλλήλων τῶν κιρναμένων σωμάτων, ὡς μηδὲν μόριον ἐν αὐτοῖς εἶναι μὴ μετέχον πάντων τῶν ἐν τῷ τοιούτῳ κεκραμένῳ μίγματι. οὐκέτι γὰρ ἄν, εἰ μὴ τοῦτο εἴη, κρᾶσιν, ἀλλὰ παράθεσιν τὸ γινόμενον εἶναι.

4 Praktische Chemie in der Antike und im Mittelalter

Text 1. Theophrast: Herstellung von Bleiweiß, Grünspan und Zinnober durch die "Kunst"

ταῦτά τε δὴ τέχνῃ γίνεται καὶ ἔτι τὸ ψιμύθιον. τίθεται γὰρ μόλυβδος ὑπὲρ ὄξους ἐν πίθοις ἡλίκον πλίνθος. ὅταν δὲ λάβῃ πάχος, λαμβάνει δὲ μάλιστα ἐν ἡμέραις δέκα, τότ' ἀνοίγουσιν, εἶτ' ἀποξύουσιν ὥσπερ εὐρῶτά τινα ἀπ' αὐτοῦ, καὶ πάλιν τιθέασι καὶ πάλιν, ἕως ἂν καταναλώσωσι. τὸ δ' ἀποξυόμενον ἐν τριπτῆρι τρίβουσι καὶ ἀπηθοῦσιν ἀεί, τὸ δ' ἔσχατον ὑφιστάμενόν ἐστι τὸ ψιμύθιον. παραπλησίως δὲ καὶ ὁ ἰὸς γίνεται· χαλκὸς γὰρ ἐρυθρὸς ὑπὲρ τρυγὸς τίθεται καὶ ἀποξύεται τὸ ἐπιγινόμενον αὐτῷ, ⟨ἐπεὶ⟩ ἐπιφαίνεται γινόμενος ⟨ὁ ἰός⟩. γίνεται δὲ καὶ κιννάβαρι τὸ μὲν αὐτοφυὲς τὸ δὲ κατ' ἐργασίαν. αὐτοφυὲς μὲν τὸ περὶ Ἰβηρίαν σκληρὸν σφόδρα καὶ λιθῶδες, καὶ τὸ ἐν Κόλχοις. τοῦτο δέ φασιν εἶναι ⟨ἐπὶ⟩ κρημνῶν, ὃ καταβάλλουσι τοξεύοντες. τὸ δὲ κατ' ἐργασίαν ὑπὲρ Ἐφέσου μικρὸν
ἐξ ἑνὸς τόπου μόνον. ἔστι δ' ἄμμος ἣν συλλέγουσι λαμπυρίζουσαν καθάπερ ὁ κόκκος· ταύτην δὲ τρίψαντες ὅλως ἐν ἀγγείοις λιθίνοις λειοτάτην πλύνουσιν ἐν χαλκοῖς [μικρὸν ἐν καλοῖς], τὸ δ' ὑφιστάμενον πάλιν λαβόντες πλύνουσι καὶ τρίβουσιν, ...

φανερὸν δ' ἐκ τούτων ὅτι μιμεῖται τὴν φύσιν ἡ τέχνη, τὰ δ' ἴδια ποιεῖ, καὶ τούτων τὰ μὲν χρήσεως χάριν τὰ δὲ μόνον φαντασίας ὥσπερ τὰς ἀλοιφάς. ἔνια δὲ ἴσως ἀμφοῖν ὥσπερ χυτὸν ἄργυρον. ἔστι γάρ τις χρεία καὶ τούτου. ποιεῖται δὲ ὅταν ⟨κιννάβαρι⟩ τριφθῇ μετ' ὄξους ἐν ἀγγείῳ χαλκῷ καὶ δοίδυκι χαλκῷ. τὰ μὲν οὖν τοιαῦτα τάχ' ἄν τις λάβοι πλείω.

Text 2. Dioskurides: "Ofenbruch" und Hüttenrauch"

καδμεία ἀρίστη μέν ἐστιν ἡ Κυπρία, ἐπικαλουμένη δὲ βοτρυῖτις, πυκνή, βαρεῖα μέσως καὶ μᾶλλον ἐπὶ τὸ κουφότερον ῥέπουσα, ἔχουσα τὴν ἐπιφάνειαν βοτρυώδη, χρώματι σποδοειδής, θλασθεῖσα δὲ ἔνδοθεν ἔντεφρος καὶ ἰώδης. ἐχομένη δ' ἐστὶν ἡ ἔξωθεν μὲν κυανίζουσα, ἔνδοθεν δὲ λευκοτέρα, διαφύσεις ἔχουσα ἐμφερῶς ὀνυχίτῃ λίθῳ·

ἔστι δέ τις καὶ πλακωτὴ λεγομένη, ὡσπερεὶ ζώνας ἔχουσα τὰς διαφύσεις, ὅθεν καὶ ζωνῖτιν αὐτὴν ἐκάλεσαν. καλεῖταί τις καὶ ὀστρακῖτις, ἰσχνὴ καὶ ὡς ἐπὶ τὸ πολὺ μέλαινα, γεώδει δὲ ἢ ὀστρακώδει κεχρημένη ἐπιφανείᾳ· φαύλη δὲ ἡ λευκή. ...

γεννᾶται δὲ ἡ καδμεία ἐκ τοῦ χαλκοῦ καμινευομένου, προσιζανούσης τῆς λιγνύος τοῖς τοίχοις τῶν καμίνων καὶ τῇ κορυφῇ· εἰσὶ δ' αὐτ⟨οῦ κεραῖ⟩αι σιδηραῖ, παμμεγέθεις, ἀκεστίδες ὑπὸ τῶν μεταλλουργῶν καλούμεναι, κατὰ κορυφὴν συνηγμέναι πρὸς τὸ κατέχεσθαι καὶ ἐφιζάνειν τὰ ἀναφερόμενα σώματα ἀπὸ τοῦ

χαλκοῦ, ἅπερ ἀεὶ καὶ μᾶλλον προσιζάνοντα ἐπισωματοῦται, καί ποτε μὲν ἓν εἶδος αὐτῆς, ποτὲ δὲ δύο ἢ πάντα ἀποτελεῖται. . . .

τινὲς δὲ καὶ ἐν μετάλλοις λιθίνοις φασὶν εὑρίσκεσθαι καδμείαν, πλανώμενοι ὑπὸ λίθων πολλὴν ἐμφέρειαν ἐχόντων, ὥσπερεὶ καὶ ὁ ἐν τῇ Κύμῃ λίθος εὑρισκόμενος, δύναμιν δὲ οὐδεμίαν ἐνδεικνύμενος, ἐπιγινωσκομένων αὐτῶν ἐκ τοῦ κονφοτέρους αὐτοὺς εἶναι τῆς καδμείας καὶ διαμασηθέντας μὴ ἐπιεικεῖς εἶναι τῇ γεύσει· ἀγανακτεῖν δὲ τοὺς ὀδόντας, εἰ λίθος εἴη, ἐν τῇ μασήσει, εἰ δὲ καδμεία εἴη, ἀνέχεσθαι τῆς διαβρώσεως, συνεικούσης αὐτῆς. ἔτι διακρίνεται καὶ τῷ τὴν μὲν καδμείαν λειοτριβηθεῖσαν σὺν ὄξει καὶ ξηρανθεῖσαν ἐν ἡλίῳ ἐπιζεῖν, τὸν δὲ λίθον μὴ πάσχειν τοῦτο· καὶ ἐκ τοῦ ἐπιτεθέντα μὲν τὸν λίθον τετριμμένον πυρὶ ἀποπηδᾶν καὶ τὸν ἐξ αὐτοῦ καπνὸν ὁμοειδῆ τῷ πυρὶ ὑπάρχειν, τὴν δὲ καδμείαν μένειν τε καὶ ἀναδιδόναι αἰθάλην μηλίζουσαν καὶ χαλκοφανῆ ὥσπερεὶ ζώνην τινὰ ποικίλην. ἔτι ὁ μὲν λίθος πυρωθεὶς καὶ ψυγεὶς ἀλλοιωθήσεται τῷ χρώματι καὶ κονφότερος ἔσται, ἡ δὲ καδμεία κατ' οὐδὲν μεταβάλλει, εἰ μή τις αὐτὴν ἐφ' ἱκανὰς ἐγκαύσῃ ὥρας.

Text 3. Plinius: Blei und Zinn

Sequitur natura plumbi, cuius duo genera, nigrum atque candidum. Pretiosissimum in hoc candidum, Graecis appellatum cassiterum fabuloseque narratum insulas Atlantici maris peti vitilibusque navigiis corio circumsutis advehi. Nunc certum est in Lusitania gigni et in Gallaecia summa tellure, harenosa et coloris nigri. Pondere tantum ea deprehenditur. Interveniunt et minuti calculi, maxime torrentibus siccatis. Lavant eas harenas metallici et, quod subsedit, coquunt in fornacibus. Invenitur et in aurariis metallis, quae alutias vocant, aqua inmissa eluente calculos nigros paullum candore variatos, quibus eadem gravitas quae auro, et ideo in calathis, quibus aurum colligitur, cum eo remanent; postea caminis separantur conflatique in plumbum album resolvuntur. Non fit in Gallaecia nigrum, cum vicina Cantabria nigro tantum abundet. Nec ex albo argentum, cum fiat ex nigro. Iungi inter se plumbum nigrum sine albo non potest nec hoc ei sine oleo ac ne album quidem secum sine nigro. Album habuit auctoritatem et Iliacis temporibus teste Homero, cassiterum ab illo dictum. Plumbi nigri origo duplex est: aut enim sua provenit vena nec quicquam aliud ex sese parit aut cum argento nascitur mixtisque

venis conflatur. Huius qui primus fuit in fornacibus liquor, stagnum appellatur; qui secundus, argentum; quod remansit in fornacibus, galena, quae fit tertia portio additae venae; haec rursus conflata dat nigrum plumbum deductis partibus nonis II. ...

Albi natura plus aridi habet, contraque nigri tota umida est. Ideo album nulli rei sine mixtura utile est. Neque argentum ex eo plumbatur, quoniam prius liquescat argentum. ... Plumbi albi experimentum in charta est, ut liquefactum pondere videatur, non calore rupisse.

Text 4. Leidener Papyrus: Imitation von Silber

Ἀσήμου ποίησις. |
Λαβὼν κασσίτερον λεπτὸν καὶ μαλακὸν κάθα||ρον τετράκις, καὶ λαβὼν αὐτοῦ μέ(ρη) δ′ καὶ χαλκοῦ | λευκοῦ καθαροῦ μέ(ρη) καὶ γ′, καὶ ἀσήμου μέ(ρος) α′, χώνευε. | Καὶ ὅταν χωνευθῇ, σμῆχε πλειστάκις καὶ σκεύαζε | ὃ θέλεις, ἔσται πρῶτον ἄσημον, ὥστε καὶ τοὺς τεχ|νίτας λαθεῖν.

Text 5. Leidener Papyrus: Reinheitsprüfung von Gold und Silber

Χρυσοῦ δοκιμασία. |
Ἐὰν θέλῃς χρυσὸν καθᾶραι, ἀναχώνευσον ἢ | πύρωσον, καὶ ἐὰν ᾖ καθαρὸς, ἐν τῷ αὐτῷ χρώ|ματι μένει μετὰ τὴν πύρωσιν καὶ ὅμοιος τῷ | νομίσματι καθαρός. Ἐὰν λευκότερος φαίνηται, || {ται} ἄργυρον ἔχει. Ἐὰν δὲ τραχύτερος καὶ σκλη|ρότερος, χαλκὸν καὶ κασσίτερον, ἐάν τε μέλας μὲν | μαλακὸς δέ, μόλιβον. |

Ἀργύρου δοκιμασία. |
Τὸν ἄργυρον θέρμαινε ἢ χώνευε ὥσπερ τὸν χρυσὸν || καὶ ἐὰν μὲν ᾖ λευκὸς στίλβων, καθαρός ἐστιν καὶ δό|λον οὐκ ἔχει. Ἐὰν δὲ μέλας φαίνῃ, μόλυβον ἔχει. | Ἐὰν δὲ σκληρὸς φανῇ καὶ κιρρός, χαλκὸν ἔχει. |

Text 6. Stockholmer Papyrus: Imitation von Smaragd

Σμαράγδου ποίησις. |
Χρυσοκόλλης ὁλκῆς ∫ –, ἀρμενικοῦ || ὁλκῆς ∫ –, οὔρου ἀφθόρου παιδὸς κο|τύλης ∫, χολῆς ταυρίας τοῦ ὑγροῦ τὸ | δίμοιρον μείξας βάλε εἰς χυτρίδιον | ὁμοῦ καὶ βάλε τοὺς λίθους πάντας, ἵνα | ἄγωσιν ἀνὰ ∫ β′ καὶ ∫ δ′. Καὶ πωμάσ||ας τὸ χυτρίδιον περιπήλωσον τὸ π|ῶμα καὶ κάε ἐν ἐλαΐνοις ξύλοις ἐλα|φρῷ πυρὶ ἐφ' ὥρας ἓξ ἔψων.
Ἐὰν δὲ γέ|νηται σημεῖον τοῦτο, τὸ πῶμα χλω|ρόν, μηκέτι καῖε ἀλλὰ καταψύξας ἆ||ρον καὶ εὑρήσεις γεγονότας. Εἰσὶν | δὲ οἱ λίθοι κρυστάλλινοι. Πᾶσα δὲ κρύ|σταλλος ἑψομένη μεταβάλλει τὴν | {τὴν} χρόαν.

Text 7. al-Kindī: Sublimation von Campher

وهو يصعّد على وجهين أحدهما يعمل بالبصرة وهو الذى يسمّى السكّر وهو الجيّد البالغ الذى لا غشّ فيه * — يؤخذ من الكافور الرباحى الجيّد من دقاقه مسحوق نعمّا. ثمّ يصير فى قدح على خلقة الباطية مدوّر الأسفل، ويطيّن أيضا بالطين الذى وصفناه. ويركّب هذا القدح على بربخ من طين طوله ثلثة أشبار، ويطبق حوالى تراس القدح مع رأس البربخ. ويكون القدح معلّقا فى البربخ كما تراه فى الصورة.
ثمّ تصيّر فى باطن هذا القدح الكافور المسحوق، ويكون عياره خمسة مثاقيل فقط، فهذا أكثره، وأقلّه ثلثة مثاقيل. ثمّ يطبق على القدح جام قوارير شبيه بالمقبّب قليلا ويكون التقبيب الى أسفل على هذه الصورة * ويطيّن وصل الجام مع شفة القدح ويضع فى أسفل البربخ نار فحم ليّنة يكون قدرها قدرا واحدا. فانّه يرتفع الكافور ويلصق فى أسفل الجام كأنّه سكّرة بيضاء، يبقى ثقالته أسفل. وانّما يصاعد لهذا الكافور ما كان أسود وأسمر او كمد اللون

Text 8. al-Hamdānī: Verhüttung von silberhaltigen Bleierzen

قد ذكرنا هيئة معادن الفضّة من غيران الجبال وأعماق الأرض. ودليلها الكحل الاثمد. فحيث ما وجد علم أنّه بخار الفضّة وأنّ الجوهر تحته. فحفر عليه واستخرج. ثمّ كسر على هيئة الزبيب الكبار. وما كان من دقّة ومن شذرة لتّ بالماء مع شىء من الطين الأصفر قدر ما يجمعه.

ثمّ يبنى التنّور ويكون تنّورا بزلاق ويكون الى ورائه مناق خلفه حوض. فيسدّ ذلك المناق والمناق هو منسّم التنّور. ويكون التنّور بمنفاخ او باثنين على قدر ما يوضع فيه من الجوهر من قلّته وكثرته وقدر كبر التنّور ولطفها. ويكون المنفاخ منفاخ حدّاد كبيرا من الأصراف والجلود.

ثمّ يوضع طبق سود من القرظ فى أسفل التنّور ثمّ طبق جوهر ثمّ طبق سود ثمّ طبق جوهر حتّى يبلغ الرأس. وربّما شيب السود الثقيل من القرظ بأخفّ منه من السمر والعرعر ليكون ألين له وأكثر لاستخراج ما فى الجوهر. ثمّ يوقد عليه. بذينك المنفاخين رجلان جلدان مائطان لا يقفان، فاذا كلّ أحدهما عقبه آخر يخطف المنفاخ على عجل لئلّا يفتر الوقود، فيكون على المنفاخ رجلان وعلى المنفاخين أربعة. وربّما كان بين المنفاخين والتنّور جدار يحجز ما بين المنفاخين وبين بخار التنّور لأنّ بخار الاسرب شديد العمل فى الدماغ.

